22122952

International Baccalaureate®
Baccalauréat International
Bachillerato Internacional

**CLASSICAL GREEK**
**HIGHER LEVEL**
**PAPER 2**

Wednesday 16 May 2012 (morning)

2 hours

INSTRUCTIONS TO CANDIDATES

- Do not open this examination paper until instructed to do so.
- Answer four questions from two genres only.
- The maximum mark for this examination paper is *[44 marks]*.





© International Baccalaureate Organization 2012

https://xtremepape.rs/

*Answer* ***four*** *questions from* ***two*** *genres* ***only****. These questions should be taken from the* ***two*** *genres you have studied.*

**Genre: Epic**

**Question 1. Homer *Iliad* 6.460–481**

Ἕκτορος ἥδε γυνὴ ὃς ἀριστεύεσκε μάχεσθαι
Τρώων ἱπποδάμων ὅτε Ἴλιον ἀμφεμάχοντο.
ὥς ποτέ τις ἐρέει· σοὶ δ᾽ αὖ νέον ἔσσεται ἄλγος
χήτεϊ τοιοῦδ᾽ ἀνδρὸς ἀμύνειν δούλιον ἦμαρ.
ἀλλά με τεθνηῶτα χυτὴ κατὰ γαῖα καλύπτοι
πρίν γέ τι σῆς τε βοῆς σοῦ θ᾽ ἑλκηθμοῖο πυθέσθαι.
ὣς εἰπὼν οὗ παιδὸς ὀρέξατο φαίδιμος Ἕκτωρ·
ἂψ δ᾽ ὃ πάϊς πρὸς κόλπον ἐϋζώνοιο τιθήνης
ἐκλίνθη ἰάχων πατρὸς φίλου ὄψιν ἀτυχθεὶς
ταρβήσας χαλκόν τε ἰδὲ λόφον ἱππιοχαίτην,
δεινὸν ἀπ᾽ ἀκροτάτης κόρυθος νεύοντα νοήσας.
ἐκ δ᾽ ἐγέλασσε πατήρ τε φίλος καὶ πότνια μήτηρ·
αὐτίκ᾽ ἀπὸ κρατὸς κόρυθ᾽ εἵλετο φαίδιμος Ἕκτωρ,
καὶ τὴν μὲν κατέθηκεν ἐπὶ χθονὶ παμφανόωσαν·
αὐτὰρ ὅ γ᾽ ὃν φίλον υἱὸν ἐπεὶ κύσε πῆλέ τε χερσὶν
εἶπε δ᾽ ἐπευξάμενος Διί τ᾽ ἄλλοισίν τε θεοῖσι·
"Ζεῦ ἄλλοι τε θεοὶ, δότε δὴ καὶ τόνδε γενέσθαι
παῖδ᾽ ἐμὸν ὡς καὶ ἐγώ περ ἀριπρεπέα Τρώεσσιν,
ὧδε βίην τ᾽ ἀγαθόν, καὶ Ἰλίου ἶφι ἀνάσσειν·
καί ποτέ τις εἴποι πατρός γ᾽ ὅδε πολλὸν ἀμείνων
ἐκ πολέμου ἀνιόντα·"

(a) Whom does γυνὴ (line 460) refer to? Give **two** details about her. *[2 marks]*

(b) ὣς εἰπὼν … τε χερσὶν (lines 466–474). How does Homer create a moving family picture here? *[3 marks]*

(c) "Ζεῦ … ἀνιόντα·" (lines 476–480). How does Hector's prayer reflect Homeric values? *[2 marks]*

(d) What typical features of Homer's literary art are found in this text? Illustrate your answer with **three** examples from the text. *[3 marks]*



https://xtremepape.rs/

**Genre: Epic**

**Question 2. Homer *Iliad* 6.503–522**

οὐδὲ Πάρις δήθυνεν ἐν ὑψηλοῖσι δόμοισιν,
ἀλλ᾽ ὅ γ᾽, ἐπεὶ κατέδυ κλυτὰ τεύχεα ποικίλα χαλκῷ,
σεύατ᾽ ἔπειτ᾽ ἀνὰ ἄστυ ποσὶ κραιπνοῖσι πεποιθώς.
ὡς δ᾽ ὅτε τις στατὸς ἵππος ἀκοστήσας ἐπὶ φάτνῃ
δεσμὸν ἀπορρήξας θείῃ πεδίοιο κροαίνων
εἰωθὼς λούεσθαι ἐϋρρεῖος ποταμοῖο
κυδιόων· ὑψοῦ δὲ κάρη ἔχει, ἀμφὶ δὲ χαῖται
ὤμοις ἀΐσσονται· ὃ δ᾽ ἀγλαΐηφι πεποιθὼς
ῥίμφά ἑ γοῦνα φέρει μετά τ᾽ ἤθεα καὶ νομὸν ἵππων·
ὣς υἱὸς Πριάμοιο Πάρις κατὰ Περγάμου ἄκρης
τεύχεσι παμφαίνων ὥς τ᾽ ἠλέκτωρ ἐβεβήκει
καγχαλόων, ταχέες δὲ πόδες φέρον· αἶψα δ᾽ ἔπειτα
Ἕκτορα δῖον ἔτετμεν ἀδελφεὸν εὖτ᾽ ἄρ᾽ ἔμελλε
στρέψεσθ᾽ ἐκ χώρης ὅθι ἧ ὀάριζε γυναικί.
τὸν πρότερος προσέειπεν Ἀλέξανδρος θεοειδής·
"ἠθεῖ᾽ ἦ μάλα δή σε καὶ ἐσσύμενον κατερύκω
δηθύνων, οὐδ᾽ ἦλθον ἐναίσιμον ὡς ἐκέλευες;"
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη κορυθαιόλος Ἕκτωρ·
"δαιμόνι᾽, οὐκ ἄν τίς τοι ἀνὴρ ὃς ἐναίσιμος εἴη
ἔργον ἀτιμήσειε μάχης, ἐπεὶ ἄλκιμός ἐσσι·"

(a) Scan lines 504–505, ἀλλ᾽ ὅ γ᾽, ἐπεὶ … πεποιθώς. *[2 marks]*

(b) "δαιμόνι᾽ … ἐσσι·" (lines 521–522). What are Hector's feelings about his brother, as expressed here? *[2 marks]*

(c) Analyse Homer's artistic portrayal of Paris in this text. Refer closely to the original text. *[8 marks]*



https://xtremepape.rs/

**Genre: Historiography**

**Question 3. Thucydides 2.47–48.2**

τοιόσδε μὲν ὁ τάφος ἐγένετο ἐν τῷ χειμῶνι τούτῳ· καὶ διελθόντος αὐτοῦ πρῶτον ἔτος τοῦ πολέμου τοῦδε ἐτελεύτα. τοῦ δὲ θέρους εὐθὺς ἀρχομένου Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι τὰ δύο μέρη ὥσπερ καὶ τὸ πρῶτον ἐσέβαλον ἐς τὴν Ἀττικήν (ἡγεῖτο δὲ Ἀρχίδαμος ὁ Ζευξιδάμου Λακεδαιμονίων βασιλεύς), καὶ καθεζόμενοι ἐδῄουν τὴν γῆν. καὶ ὄντων αὐτῶν οὐ πολλάς πω ἡμέρας ἐν τῇ Ἀττικῇ ἡ νόσος πρῶτον ἤρξατο γενέσθαι τοῖς Ἀθηναίοις, λεγόμενον μὲν καὶ πρότερον πολλαχόσε ἐγκατασκῆψαι καὶ περὶ Λῆμνον καὶ ἐν ἄλλοις χωρίοις, οὐ μέντοι τοσοῦτός γε λοιμὸς οὐδὲ φθορὰ οὕτως ἀνθρώπων οὐδαμοῦ ἐμνημονεύετο γενέσθαι. οὔτε γὰρ ἰατροὶ ἤρκουν τὸ πρῶτον θεραπεύοντες ἀγνοίᾳ, ἀλλ᾽ αὐτοὶ μάλιστα ἔθνῃσκον ὅσῳ καὶ μάλιστα προσῇσαν, οὔτε ἄλλη ἀνθρωπεία τέχνη οὐδεμία· ὅσα τε πρὸς ἱεροῖς ἱκέτευσαν ἢ μαντείοις καὶ τοῖς τοιούτοις ἐχρήσαντο, πάντα ἀνωφελῆ ἦν, τελευτῶντές τε αὐτῶν ἀπέστησαν ὑπὸ τοῦ κακοῦ νικώμενοι. ἤρξατο δὲ τὸ μὲν πρῶτον, ὡς λέγεται, ἐξ Αἰθιοπίας τῆς ὑπὲρ Αἰγύπτου, ἔπειτα δὲ καὶ ἐς Αἴγυπτον καὶ Λιβύην κατέβη καὶ ἐς τὴν βασιλέως γῆν τὴν πολλήν. ἐς δὲ τὴν Ἀθηναίων πόλιν ἐξαπιναίως ἐσέπεσε, καὶ τὸ πρῶτον ἐν τῷ Πειραιεῖ ἥψατο τῶν ἀνθρώπων, ὥστε καὶ ἐλέχθη ὑπ᾽ αὐτῶν ὡς οἱ Πελοποννήσιοι φάρμακα ἐσβεβλήκοιεν ἐς τὰ φρέατα· κρῆναι γὰρ οὔπω ἦσαν αὐτόθι. ὕστερον δὲ καὶ ἐς τὴν ἄνω πόλιν ἀφίκετο, καὶ ἔθνῃσκον πολλῷ μᾶλλον ἤδη.

(a) πρῶτον ἔτος τοῦ πολέμου τοῦδε (line 2). What event is being alluded to in the text? To which year, in modern reckoning, does the text refer? *[2 marks]*

(b) Translate τοῦ δὲ θέρους … τὴν γῆν (lines 2–5). *[3 marks]*

(c) καὶ ὄντων αὐτῶν … γενέσθαι (lines 5–9). Give any **two** facts about the disease which are mentioned in the text. *[2 marks]*

(d) οὔτε γὰρ ἰατροὶ … μᾶλλον ἤδη (lines 9–19). Illustrate Thucydides's narrative art from these lines. Support your answer with **three** quotations from the text. *[3 marks]*



https://xtremepape.rs/

**Genre: Historiography**

**Question 4. Thucydides 2.51.1–5**

καὶ ἄλλο παρελύπει κατ᾽ ἐκεῖνον τὸν χρόνον οὐδὲν τῶν εἰωθότων· ὃ δὲ καὶ γένοιτο, ἐς τοῦτο ἐτελεύτα. ἔθνῃσκον δὲ οἱ μὲν ἀμελείᾳ, οἱ δὲ καὶ πάνυ θεραπευόμενοι. ἕν τε οὐδὲ ἓν κατέστη ἴαμα ὡς εἰπεῖν ὅτι χρῆν προσφέροντας ὠφελεῖν· τὸ γάρ τῳ ξυνενεγκὸν ἄλλον τοῦτο ἔβλαπτεν. σῶμά τε αὔταρκες ὂν οὐδὲν διεφάνη πρὸς αὐτὸ ἰσχύος πέρι ἢ ἀσθενείας, ἀλλὰ πάντα ξυνῄρει καὶ τὰ πάσῃ διαίτῃ θεραπευόμενα. δεινότατον δὲ παντὸς ἦν τοῦ κακοῦ ἥ τε ἀθυμία ὁπότε τις αἴσθοιτο κάμνων (πρὸς γὰρ τὸ ἀνέλπιστον εὐθὺς τραπόμενοι τῇ γνώμῃ πολλῷ μᾶλλον προΐεντο σφᾶς αὐτοὺς καὶ οὐκ ἀντεῖχον), καὶ ὅτι ἕτερος ἀφ᾽ ἑτέρου θεραπείας ἀναπιμπλάμενοι ὥσπερ τὰ πρόβατα ἔθνῃσκον· καὶ τὸν πλεῖστον φθόρον τοῦτο ἐνεποίει. εἴτε γὰρ μὴ "θέλοιεν δεδιότες ἀλλήλοις προσιέναι, ἀπώλλυντο ἐρῆμοι, καὶ οἰκίαι πολλαὶ ἐκενώθησαν ἀπορίᾳ τοῦ θεραπεύσοντος· εἴτε προσίοιεν, διεφθείροντο, καὶ μάλιστα οἱ ἀρετῆς τι μεταποιούμενοι· αἰσχύνῃ γὰρ ἠφείδουν σφῶν αὐτῶν ἐσιόντες παρὰ τοὺς φίλους, ἐπεὶ καὶ τὰς ὀλοφύρσεις τῶν ἀπογιγνομένων τελευτῶντες καὶ οἱ οἰκεῖοι ἐξέκαμνον ὑπὸ τοῦ πολλοῦ κακοῦ νικώμενοι.

(a) *καὶ ἄλλο … ἐτελεύτα* (lines 1–2). What **two** unusual aspects of the plague does Thucydides mention in the text? *[2 marks]*

(b) *ἔθνῃσκον … θεραπευόμενα* (lines 2–6). Give any **two** details from Thucydides's description of the way the people were afflicted by the disease. *[2 marks]*

(c) How vividly does Thucydides depict the human responses, both individual and collective, to the plague? Refer closely to the text. *[8 marks]*



https://xtremepape.rs/

**Genre: Tragedy**

**Question 5. Sophocles *Oedipus King* 364–379**

**Τει.** εἴπω τι δῆτα κἄλλ᾽, ἵν᾽ ὀργίζῃ πλέον;
**Οἰ.** ὅσον γε χρῄζεις· ὡς μάτην εἰρήσεται.
**Τει.** λεληθέναι σε φημὶ σὺν τοῖς φιλτάτοις
αἴσχισθ᾽ ὁμιλοῦντ᾽, οὐδ᾽ ὁρᾶν ἵν᾽ εἶ κακοῦ.
**Οἰ.** ἦ καὶ γεγηθὼς ταῦτ᾽ ἀεὶ λέξειν δοκεῖς;
**Τει.** εἴπερ τί γ᾽ ἐστὶ τῆς ἀληθείας σθένος.
**Οἰ.** ἀλλ᾽ ἔστι, πλὴν σοί· σοὶ δὲ τοῦτ᾽ οὐκ ἔστ᾽ ἐπεὶ
τυφλὸς τά τ᾽ ὦτα τόν τε νοῦν τά τ᾽ ὄμματ᾽ εἶ.
**Τει.** σὺ δ᾽ ἄθλιός γε ταῦτ᾽ ὀνειδίζων, ἃ σοὶ
οὐδεὶς ὃς οὐχὶ τῶνδ᾽ ὀνειδιεῖ τάχα.
**Οἰ.** μιᾶς τρέφει πρὸς νυκτός, ὥστε μήτ᾽ ἐμὲ
μήτ᾽ ἄλλον, ὅστις φῶς ὁρᾷ, βλάψαι ποτ᾽ ἄν.
**Τει.** οὐ γάρ σε μοῖρα πρός γ᾽ ἐμοῦ πεσεῖν, ἐπεὶ
ἱκανὸς Ἀπόλλων, ᾧ τάδ᾽ ἐκπρᾶξαι μέλει.
**Οἰ.** Κρέοντος ἢ σοῦ ταῦτα τἀξευρήματα;
**Τει.** Κρέων δέ σοι πῆμ᾽ οὐδέν, ἀλλ᾽ αὐτὸς σὺ σοί.

(a) εἴπω τι … σθένος (lines 364–369). Show how Sophocles's style in these lines reflects the dramatic tension between the two characters. Give **three** details. *[3 marks]*

(b) Translate εἴπερ τί … ὄμματ᾽ εἶ (lines 369–371). *[3 marks]*

(c) ἀλλ᾽ ἔστι … μέλει (lines 370–377). Explain the dramatic irony here. *[2 marks]*

(d) Κρέοντος … σὺ σοί (lines 378–379). Why is Creon mentioned here? Make **two** points. *[2 marks]*



https://xtremepape.rs/

**Genre: Tragedy**

**Question 6. Sophocles *Oedipus King* 447–462**

**Τει.** εἰπὼν ἄπειμ᾽ ὧν οὕνεκ᾽ ἦλθον, οὐ τὸ σὸν
δείσας πρόσωπον· οὐ γὰρ ἔσθ᾽ ὅπου μ᾽ ὀλεῖς.
λέγω δέ σοι· τὸν ἄνδρα τοῦτον, ὃν πάλαι
ζητεῖς ἀπειλῶν κἀνακηρύσσων φόνον
τὸν Λαΐειον, οὗτός ἐστιν ἐνθάδε,
ξένος λόγῳ μέτοικος, εἶτα δ᾽ ἐγγενὴς
φανήσεται Θηβαῖος, οὐδ᾽ ἡσθήσεται
τῇ ξυμφορᾷ· τυφλὸς γὰρ ἐκ δεδορκότος
καὶ πτωχὸς ἀντὶ πλουσίου ξένην ἔπι
σκήπτρῳ προδεικνὺς γαῖαν ἐμπορεύσεται.
φανήσεται δὲ παισὶ τοῖς αὑτοῦ ξυνὼν
ἀδελφὸς αὑτὸς καὶ πατήρ, κἀξ ἧς ἔφυ
γυναικὸς υἱὸς καὶ πόσις, καὶ τοῦ πατρὸς
ὁμόσπορός τε καὶ φονεύς. καὶ ταῦτ᾽ ἰὼν
εἴσω λογίζου· κἂν λάβῃς ἐψευσμένον,
φάσκειν ἔμ᾽ ἤδη μαντικῇ μηδὲν φρονεῖν.

(a) εἰπὼν … μ᾽ ὀλεῖς (lines 447–448). What role does Teiresias assume here? What entitles him to do so? *[2 marks]*

(b) Scan lines 449–450, λέγω … φόνον. *[2 marks]*

(c) Referring both to the content and the language of the text, show its qualities as an illustrative example of Sophocles's dramatic art. *[8 marks]*



https://xtremepape.rs/

**Genre: Comedy**

**Question 7. Aristophanes *Frogs* 1158–1177**

**Δι.** νὴ τὸν Δί᾽, ὥσπερ γ᾽ εἴ τις εἴποι γείτονι,
"χρῆσον σὺ μάκτραν, εἰ δὲ βούλει, κάρδοπον."
**Αἰ.** οὐ δῆτα τοῦτό γ᾽ ὦ κατεστωμυλμένε
ἄνθρωπε ταὔτ᾽ ἔστ᾽, ἀλλ᾽ ἄριστ᾽ ἐπῶν ἔχον.
**Εὐ.** πῶς δή; δίδαξον γάρ με καθ᾽ ὅ τι δὴ λέγεις;
**Αἰ.** "ἐλθεῖν" μὲν ἐς γῆν ἔσθ᾽ ὅτῳ μετῇ πάτρας·
χωρὶς γὰρ ἄλλης συμφορᾶς ἐλήλυθεν.
φεύγων δ᾽ ἀνὴρ "ἥκει" τε καὶ "κατέρχεται."
**Δι.** εὖ νὴ τὸν Ἀπόλλω. τί σὺ λέγεις, Εὐριπίδη;
**Εὐ.** οὔ φημὶ τὸν Ὀρέστην κατελθεῖν οἴκαδε·
λάθρᾳ γὰρ ἦλθεν οὐ πιθὼν τοὺς κυρίους.
**Δι.** εὖ νὴ τὸν Ἑρμῆν· ὅ τι λέγεις δ᾽ οὐ μανθάνω.
**Εὐ.** πέραινε τοίνυν ἕτερον. **Δι.** ἴθι πέραινε σὺ
Αἰσχύλ᾽ ἀνύσας· σὺ δ᾽ ἐς τὸ κακὸν ἀπόβλεπε.
**Αἰ.** "τύμβου δ᾽ ἐπ᾽ ὄχθῳ τῷδε κηρύσσω πατρὶ
κλύειν ἀκοῦσαι." **Εὐ.** τοῦθ᾽ ἕτερον αὖθις λέγει,
"κλύειν ἀκοῦσαι," ταὐτὸν ὂν σαφέστατα.
**Δι.** τεθνηκόσιν γὰρ ἔλεγεν ὦ μόχθηρε σύ,
οἷς οὐδὲ τρὶς λέγοντες ἐξικνούμεθα.
**Αἰ.** σὺ δὲ πῶς ἐποίεις τοὺς προλόγους; **Εὐ.** ἐγὼ φράσω.

(a) νὴ τὸν Δί᾽ … κάρδοπον (lines 1158–1159). What aspect of Aeschylean style does Aristophanes ridicule in line 1159? *[2 marks]*

(b) "ἐλθεῖν … κατέρχεται." (lines 1163–1165). How does Aeschylus justify his choice of words? *[3 marks]*

(c) εὖ νὴ … ἕτερον (lines 1166–1170). What is the role played by Dionysus in these lines? How does he fulfil it? *[2 marks]*

(d) ἴθι πέραινε … φράσω (lines 1170–1177). Select, with appropriate justification, **three** examples of Aristophanes's humour in these lines. *[3 marks]*



https://xtremepape.rs/

**Genre: Comedy**

**Question 8. Aristophanes *Frogs* 1119–1137**

**Εὐ.** καὶ μὴν ἐπ᾽ αὐτοὺς τοὺς προλόγους σου τρέψομαι,
ὅπως τὸ πρῶτον τῆς τραγῳδίας μέρος
πρώτιστον αὐτοῦ βασανιῶ τοῦ δεξιοῦ.
ἀσαφὴς γὰρ ἦν ἐν τῇ φράσει τῶν πραγμάτων.
**Δι.** καὶ ποῖον αὐτοῦ βασανιεῖς; **Εὐ.** πολλοὺς πάνυ.
πρῶτον δέ μοι τὸν ἐξ Ὀρεστείας λέγε.
**Δι.** ἄγε δὴ σιώπα πᾶς ἀνήρ. λέγ᾽ Αἰσχύλε.
**Αἰ.** "Ἑρμῆ χθόνιε πατρῷ᾽ ἐποπτεύων κράτη,
σωτὴρ γενοῦ μοι σύμμαχός τ᾽ αἰτουμένῳ.
ἥκω γὰρ ἐς γῆν τήνδε καὶ κατέρχομαι."
**Δι.** τούτων ἔχεις ψέγειν τι; **Εὐ.** πλεῖν ἢ δώδεκα.
**Δι.** ἀλλ᾽ οὐδὲ πάντα ταῦτά γ᾽ ἔστ᾽ ἀλλ᾽ ἢ τρία.
**Εὐ.** ἔχει δ᾽ ἕκαστον εἴκοσίν γ᾽ ἁμαρτίας.
**Δι.** Αἰσχύλε, παραινῶ σοι σιωπᾶν· εἰ δὲ μή,
πρὸς τρισὶν ἰαμβείοισι προσοφείλων φανεῖ.
**Αἰ.** ἐγὼ σιωπῶ τῷδ᾽; **Δι.** ἐὰν πείθῃ γ᾽ ἐμοί.
**Εὐ.** εὐθὺς γὰρ ἡμάρτηκεν οὐράνιόν γ᾽ ὅσον.
**Αἰ.** ὁρᾷς ὅτι ληρεῖς; **Δι.** ἀλλ᾽ ὀλίγον γέ μοι μέλει.
**Αἰ.** πῶς φῄς μ᾽ ἁμαρτεῖν; **Εὐ.** αὖθις ἐξ ἀρχῆς λέγε.

(a) Scan lines 1120–1121, ὅπως … τοῦ δεξιοῦ. *[2 marks]*

(b) "Ἑρμῆ … κατέρχομαι." (lines 1126–1128). Give the context of these lines in the *Oresteia*. *[2 marks]*

(c) Summarize the main points of the literary polemic in this text. How does Aristophanes's dramatic art convey them so entertainingly? *[8 marks]*



https://xtremepape.rs/

**Genre: Philosophy**

**Question 9. Plato *Crito* 47a10–d6**

**Σω.** φέρε δή, πῶς αὖ τὰ τοιαῦτα ἐλέγετο; γυμναζόμενος ἀνὴρ καὶ τοῦτο πράττων πότερον παντὸς ἀνδρὸς ἐπαίνῳ καὶ ψόγῳ καὶ δόξῃ τὸν νοῦν προσέχει, ἢ ἑνὸς μόνου ἐκείνου ὃς ἂν τυγχάνῃ ἰατρὸς ἢ παιδοτρίβης ὤν;

**Κρ.** ἑνὸς μόνου.

**Σω.** οὐκοῦν φοβεῖσθαι χρὴ τοὺς ψόγους καὶ ἀσπάζεσθαι τοὺς ἐπαίνους τοὺς τοῦ ἑνὸς ἐκείνου ἀλλὰ μὴ τοὺς τῶν πολλῶν.

**Κρ.** δῆλα δή.

**Σω.** ταύτῃ ἄρα αὐτῷ πρακτέον καὶ γυμναστέον καὶ ἐδεστέον γε καὶ ποτέον, ᾗ ἂν τῷ ἑνὶ δοκῇ, τῷ ἐπιστάτῃ καὶ ἐπαΐοντι, μᾶλλον ἢ ᾗ σύμπασι τοῖς ἄλλοις.

**Κρ.** ἔστι ταῦτα.

**Σω.** εἶεν. ἀπειθήσας δὲ τῷ ἑνὶ καὶ ἀτιμάσας αὐτοῦ τὴν δόξαν καὶ τοὺς ἐπαίνους, τιμήσας δὲ τοὺς τῶν πολλῶν λόγους καὶ μηδὲν ἐπαϊόντων, ἆρα οὐδὲν κακὸν πείσεται;

**Κρ.** πῶς γὰρ οὔ;

**Σω.** τί δ᾽ ἔστι τὸ κακὸν τοῦτο, καὶ ποῖ τείνει, καὶ εἰς τί τῶν τοῦ ἀπειθοῦντος;

**Κρ.** δῆλον ὅτι εἰς τὸ σῶμα· τοῦτο γὰρ διόλλυσι.

**Σω.** καλῶς λέγεις. οὐκοῦν καὶ τἆλλα, ὦ Κρίτων, οὕτως, ἵνα μὴ πάντα διΐωμεν, καὶ δὴ καὶ περὶ τῶν δικαίων καὶ ἀδίκων καὶ αἰσχρῶν καὶ καλῶν καὶ ἀγαθῶν καὶ κακῶν, περὶ ὧν νῦν ἡ βουλὴ ἡμῖν ἐστιν, πότερον τῇ τῶν πολλῶν δόξῃ δεῖ ἡμᾶς ἕπεσθαι καὶ φοβεῖσθαι αὐτὴν ἢ τῇ τοῦ ἑνός, εἴ τίς ἐστιν ἐπαΐων, ὃν δεῖ καὶ αἰσχύνεσθαι καὶ φοβεῖσθαι μᾶλλον ἢ σύμπαντας τοὺς ἄλλους; ᾧ εἰ μὴ ἀκολουθήσομεν, διαφθεροῦμεν ἐκεῖνο καὶ λωβησόμεθα, ὃ τῷ μὲν δικαίῳ βέλτιον ἐγίγνετο τῷ δὲ ἀδίκῳ ἀπώλλυτο. ἢ οὐδέν ἐστι τοῦτο;

**Κρ.** οἶμαι ἔγωγε, ὦ Σώκρατες.

(a) Translate φέρε δή … ἑνὸς μόνου (lines 1–3). *[3 marks]*

(b) οὐκοῦν … ἔστι ταῦτα (lines 4–8). What is the relevance of this argument for a modern reader? Make **two** points. *[2 marks]*

(c) τί δ᾽ ἔστι … διόλλυσι (lines 11–12). What features of these lines illustrate the Socratic dialectic method? *[2 marks]*

(d) Give **three** examples to illustrate Plato’s literary art in this text. Explain your choice. *[3 marks]*



https://xtremepape.rs/

**Genre: Philosophy**

**Question 10. Plato *Crito* 51c6–52a3**

**Σω.** "σκόπει τοίνυν, ὦ Σώκρατες," φαῖεν ἂν ἴσως οἱ νόμοι, "εἰ ἡμεῖς ταῦτα ἀληθῆ λέγομεν, ὅτι οὐ δίκαια ἡμᾶς ἐπιχειρεῖς δρᾶν ἃ νῦν ἐπιχειρεῖς. ἡμεῖς γάρ σε γεννήσαντες, ἐκθρέψαντες, παιδεύσαντες, μεταδόντες ἁπάντων ὧν οἷοί τ᾽ ἦμεν καλῶν σοὶ καὶ τοῖς ἄλλοις πᾶσιν πολίταις, ὅμως προαγορεύομεν τῷ ἐξουσίαν πεποιηκέναι Ἀθηναίων τῷ βουλομένῳ, ἐπειδὰν δοκιμασθῇ καὶ ἴδῃ τὰ ἐν τῇ πόλει πράγματα καὶ ἡμᾶς τοὺς νόμους, ᾧ ἂν μὴ ἀρέσκωμεν ἡμεῖς, ἐξεῖναι λαβόντα τὰ αὑτοῦ ἀπιέναι ὅποι ἂν βούληται. καὶ οὐδεὶς ἡμῶν τῶν νόμων ἐμποδών ἐστιν οὐδ᾽ ἀπαγορεύει, ἐάντε τις βούληται ὑμῶν εἰς ἀποικίαν ἰέναι, εἰ μὴ ἀρέσκοιμεν ἡμεῖς τε καὶ ἡ πόλις, ἐάντε μετοικεῖν ἄλλοσέ ποι ἐλθών, ἰέναι ἐκεῖσε ὅποι ἂν βούληται, ἔχοντα τὰ αὑτοῦ. ὃς δ᾽ ἂν ὑμῶν παραμείνῃ, ὁρῶν ὃν τρόπον ἡμεῖς τάς τε δίκας δικάζομεν καὶ τἆλλα τὴν πόλιν διοικοῦμεν, ἤδη φαμὲν τοῦτον ὡμολογηκέναι ἔργῳ ἡμῖν ἃ ἂν ἡμεῖς κελεύωμεν ποιήσειν ταῦτα, καὶ τὸν μὴ πειθόμενον τριχῇ φαμεν ἀδικεῖν, ὅτι τε γεννηταῖς οὖσιν ἡμῖν οὐ πείθεται, καὶ ὅτι τροφεῦσι, καὶ ὅτι ὁμολογήσας ἡμῖν πείσεσθαι οὔτε πείθεται οὔτε πείθει ἡμᾶς, εἰ μὴ καλῶς τι ποιοῦμεν, προτιθέντων ἡμῶν καὶ οὐκ ἀγρίως ἐπιταττόντων ποιεῖν ἃ ἂν κελεύωμεν, ἀλλὰ ἐφιέντων δυοῖν θάτερα, ἢ πείθειν ἡμᾶς ἢ ποιεῖν, τούτων οὐδέτερα ποιεῖ."

(a) What figure of speech starts this text? Describe its function briefly. *[2 marks]*

(b) ὃς δ᾽ ἂν ὑμῶν … οὐδέτερα ποιεῖ (lines 10–16). Explain this statement in the context of Athenian society in the time of Plato. *[2 marks]*

(c) Discuss Plato's use of rhetorical devices with reference to **at least four** examples from the text. *[8 marks]*



https://xtremepape.rs/